27. Quibus per febres sanguinis copia undecunque eruperit, his in refectionibus alvi humectantur.

28. Quibus [a] biliosæ sunt egestiones, surditate superveniente, cessant: et, quibus surditas est, biliosis supervenientibus, cessat.

29. Quibus per febres sextâ die rigores fiunt, [a] difficulter judicantur.

30. Quibus exacerbationes fiunt, quâcumque horâ dimiserit febris, postridie eâdem horâ si corripuerit, difficulter judicantur.

31. [1] Lassatis per febres [a] ad articulos, et circa maxillas maximè, abscessus fiunt.

32. Quibus ex morbo resurgenti-

κζ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

κη'. Ὁκόσοισι [a] χολώδεα τὰ διαχωρήματα, κωφώσιος ἐπιγινομένης, παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων ἐπιγινομένων, παύεται.

κθ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν [a] ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

λ'. Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

λα'. [1] Τοῖσι κοπώδεσιν [a] ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα, καὶ παρὰ τὰς γνάθους μάλιστα, αἱ ἀποστάσιες γίνονται.

λβ'. Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν

νούσων τι πονέει, ἐνταῦθα αἱ ἀποστάσιες γίγνονται.

λγ΄. Ἀτὰρ, ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

λδ΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγίγνηται, θανάσιμον.

λε΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ [a] ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόλις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

λϛ΄. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μίῃ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριακοστῇ πρώτῃ, καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες

bus aliquid dolet, ibi abscessus fiunt.

33. Sed et, si quid doluerit ante morbum, ibi se figit morbus.

34. Si à febre detento, tumore in faucibus non existente, suffocatio ex improviso superveniat, lethale.

35. Si à febre detento [a] collum derepentè inversum fuerit, et vix deglutire possit, tumore non existente, lethale.

36. Sudores febricitantibus si inceperint, boni sunt die tertiâ, & quintâ, et septimâ, et nonâ, et undecimâ, et quartâ decimâ, et septimâ decimâ, et vigesimâ primâ, et vigesimâ septimâ, et trigesimâ primâ, et trigesimâ quartâ. Hi enim sudores

morbos judicant. [1] Qui verò ita non fiunt, laborem significant, et morbi longitudinem, [2] et recidivas.

37. Sudores frigidi, [a] cum acutâ quidem febre evenientes, mortem; cum mitiore verò, morbi longitudinem significant.

38. Et quâ corporis parte inest sudor, [a] ibi morbum *esse* indicat.

39. Et quâ corporis parte [a] inest calor, aut frigus, ibi morbus est.

40. Et ubi in toto corpore mutationes, et si corpus perfrigeretur, aut rursus calefiat, [a] aut color alius ex alio fiat, morbi longitudinem significat.

41. [1] Sudor multus à somno, citra causam manifestam factus, corpus uberiore alimento uti significat. [2] Si

νούσους κρίνουσιν. [1] οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆκος νούσου, καὶ [2] ὑποτροπιασμούς.

λζ΄. Οἱ ψυχροὶ [a] ἱδρῶτες, ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον· ξὺν πρηϋτέρῳ δὲ, μῆκος νούσου σημαίνουσι.

λη΄. Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, [a] ἐνταῦθα φράζει τὴν νοῦσον.

λθ΄. Καὶ ὅκου ἔνι τοῦ [a] σώματος θερμὸν, ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

μ΄. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα [a] καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίγνηται, μῆκος νούσου σημαίνει.

μα΄· [1] Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ φανερῆς αἰτίης γινόμενος, τὸ σῶμα σημαίνει, ὅτι πλείονι τροφῇ χρέεται. [2] ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο

γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται.

μβ'. Ἱδρὼς πολὺς, ψυχρὸς ἢ θερμὸς, αἰεὶ ῥέων, ὁ μὲν ψυχρὸς μείζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

μγ'. Οἱ πυρετοὶ [a] ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίγνονται, μᾶλλον ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ [b] διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

μδ'. Ὁκόσοισι πυρετοὶ μακροὶ, [a] τουτέοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνος ἐγγίνονται.

με'. Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐκ πυρετῶν γίγνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

μϛ'. Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ [a] διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

verò cibum non capienti hoc fiat, evacuatione indigere significat.

42. Sudor multus, frigidus aut calidus, semper fluens, frigidus quidem majorem, calidus verò minorem morbum significat.

43. Febres [a] quæcunque non intermittentes tertiâ *die* vehementiores fiunt, magis periculosæ: quocunque autem modo intermittant, [b] quòd sine periculo *sint* significat.

44. Quibus febres longæ [a], his tubercula ad articulos, aut dolores fiunt.

45. Quibus tubercula ad articulos, aut dolores ex febribus longis fiunt, hi pluribus utuntur cibis.

46. Si rigor incidat febri non intermittenti, [a] debili jam existente *ægro*, lethale.

47. Exscreationes in febribus non intermittentibus lividæ, [1] et cruentæ, et graveolentes, et biliosæ, omnes malæ sunt. At probè secedentes, bonæ. [2] Et *eadem ratio est* quod ad *alvi* egestiones, et quod ad urinas. [3] Si verò nihil ex conducentibus excernatur per hæc loca, malum.

48. In non intermittentibus febribus, [1] si externa quidem frigida sint, [2] interna verò urantur, et sitim habeant, lethale.

49. In febre non intermittente, [a] si labium, aut supercilium, aut oculus, aut nasus pervertatur, si non videat, si non audiat, corpore jam debili existente, quicquid horum fiat, in propinquo mors est.

50. Ubi in febre non intermitten-

μζ'. Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ, [1] καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί. [2] καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. [3] ἢν δὲ μή τι τῶν ξυμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

μη'. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, [1] ἢν τὰ μὲν ἔξω [a] ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

μθ'. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος [a] ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος τοῦ σώματος, ὅ, τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

ν'. Ὅκου ἂν ἐν πυρετῷ μὴ διαλεί-

πονῇ [a] δύσπνοια γένηται, καὶ παραφροσύνη, θανάσιμον.

να΄. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα, [a] μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου σημαίνει.

νβ΄ Ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι, κατὰ προαίρεσιν δακρύουσιν, [a] οὐδὲν ἄτοπον· [1] ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

νγ΄. Ὁκόσοισί δὲ ἐπὶ τῶν ὀδόντων [a] ἐν τοῖσι πυρετοῖσι περιγλίσχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

νδ΄. Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες [a] ξηραὶ, βραχέα ἐρεθίζουσαι, ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τοι διψώδεές εἰσιν.

νέ. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν [a] ἐφημέρων.

te [a] difficultas spirandi et delirium fit, lethale.

51. In febribus abscessus, [a] qui non solvuntur ad primas judicationes, morbi longitudinem significant.

52. Quicumque in febribus, aut in cæteris infirmitatibus, ex proposito (i. e. *ob causam*) lacrymantur [a], nihil inconveniens: [1] qui verò non ex proposito, magis inconveniens.

53. Quibus in febre ad dentes viscosa [a] circumnascuntur, *his* febres fiunt vehementiores.

54. Quibus diu tusses siccæ [a], paulùm irritantes, in febribus ardentibus, non admodùm siticulosi sunt.

55. In bubonibus febres, omnes malæ, præter [a] ephemeras.

56. [1] Febricitanti sudor superveniens, febre [a] non remittente, malum. Prolongatur enim morbus, [2] et copiosiorem humiditatem indicat.

57. A convulsione aut tetano [a] detento febris superveniens solvit morbum.

58. A febre ardente detento, [a] rigore superveniente, solutio (fit).

59. [1] Tertiana exquisita in septem ad summum circuitibus judicatur.

60. [1] Quibus in febre aures obsurduerint, [a] *his* sanguis è naribus effluens, aut alvus exturbata, morbum solvit.

61. Febricitanti, nisi in diebus imparibus dimiserit febris, reverti solet.

62. Quibus in febre morbus regius [a]

νϛ'. [1] Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ [a] ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, [2] καὶ ὑγρασίην πλείω σημαίνει.

νζ'. Ὑπὸ σπασμοῦ ἢ τετάνου [a] ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

νη'. Ὑπὸ καύσου [a] ἐχομένῳ, ἐπιγενομένου ῥίγεος, λύσις (γίνεται).

νθ'. [1] Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

ξ'. [1] Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα [a] κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

ξα'. Πυρέσσοντι, ἢν μὴ περισσῇσιν ἡμέρῃσιν [a] ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

ξβ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν

ἴκτεροι [a] ἐπιγίγνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν. (ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται).

ξγʹ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

ξδʹ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ [a] ἑβδόμῃ, ἢ τῇ ἐννάτῃ, ἢ τῇ ἑνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθόν· [1] ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ· ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

ξε. Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

ξϛʹ. Ἐν τοῖσι πυρετοῖσιν ὀξέσιν [1 a] οἱ σπασμοὶ, καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

ξζʹ. Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν

supervenit ante septimum diem, malum est. (Nisi confluxus humorum per alvum fiant).

63. Quibus in febribus quotidiè rigores fiunt, quotidiè febres solvuntur.

64. Quibus in febre septimâ, aut nonâ, [a] aut undecimâ, aut quartadecimâ morbus regius supervenit, bonum est: [1] nisi dextrum hypochondrium durum sit; alioqui, non bonum.

65. In febribus circa ventrem æstus vehemens, et oris ventriculi dolor, malum.

66. In febribus acutis [1] [a] convulsiones, et circa viscera dolores vehementes, malum.

67. In febribus, ex somnis [a] pa-

vores, aut convulsiones, malum.

68. In febribus spiritus offendens, malum: [a] convulsionem enim significat.

69. Quibus urinæ crassæ, grumosæ, paucæ, non sine febre, copia ex his succedens tenuis, juvat. Tales autem *iis* maximè prodeunt, quibus ab initio *morbi*, aut brevi post, subsidentiam continent.

70. Quibus autem in febre urinæ conturbatæ, qualis jumentorum, his capitis dolores, aut adsunt, aut aderunt.

71. Quibus *morbi* septimâ *die* judicantur, iis nubeculam rubram urina *die* quartâ continet, [1] et cætera secundùm rationem.

72. Quibus urinæ pellucidæ, [2] albæ,

ὕπνων [a] φόβοι, ἢ σπασμοὶ, κακόν.

ξη΄. Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν· [a] σπασμὸν γὰρ σημαίνει.

ξθ΄. Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τούτων λεπτὸν, ὠφελέει. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων, ὑπόστασιν ἴσχει.

ο΄. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίων, τούτοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

οα΄. Ὁκόσοισι ἑβδομαῖα κρίνεται, τούτοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, [1] καὶ τἄλλα κατὰ λόγον.

οβ΄. Ὁκόσοισιν οὖρα διαφανέα, [a]

λευκὰ, πονηρά. μάλιστα δὲ ἐν τοῖσιν φρενιτικοῖσιν ἐπιφαίνεται.

ογ΄. [1] Ὁκόσοισιν ὑποχόνδρια μετέωρα [a] διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγινομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται· ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

οδ΄. [1] Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ, καὶ [a] παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

οε΄. Ἢν [a] αἷμα, [1] ἢ [b] πῦον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

ος΄. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ

malæ. Maximè autem in phreniticis obſervantur.

73. [1] Quibus hypochondria elevata [a] *sunt* murmurantia, dolore lumborum superveniente, his alvi humectantur: nisi flatus eruperint, aut urinæ copia prodierit. In febribus autem hæc.

74. [1] Quibus spes est abscessum fore ad articulos, *eos* abscessu liberat urina multa, et crassa, et [a] alba reddita, qualis in febribus cum lassitudine quartâ die quibusdam fieri incipit. Si verò etiam ex naribus sanguis eruperit, brevi admodum solvit.

75. Si [a] *quis* sanguinem, [1] aut [b] pus mingat, renum, aut vesicæ exulcerationem significat.

76. Quibus in urinâ crassâ exis-

tente [1] carunculæ [a] parvæ, aut veluti pili unà exeunt, his de renibus excernuntur.

77. Quibus in urinâ crassâ existente furfuracea simul minguntur, iis vesica scabie laborat.

78. [1] Qui spontè sanguinem mingunt, [a] his à renibus venæ ruptionem significat.

79. [1] Quibus in urinâ arenosa [a] subsident, illis vesica calculo laborat.

80. Si *quis* sanguinem mingat, et grumos, et [a] urinæ stillicidium habeat, et dolor incidat ad imum ventrem, et perinæum, partes circa vesicam laborant.

81. Si *quis* sanguinem et pus mingat, et squamas, et odor gravis sit, [a] vesicæ exulcerationem significat.

ἐόντι [1] σαρκία [a] μικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

οζ΄. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα ξυνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

οη΄. [1] Ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα [a] οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

οθ΄. [1] Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα [a] ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

π΄. Ἢν αἷμα οὐρέῃ, καὶ θρόμβους, καὶ [a] στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον, καὶ ἐς τὸ περίναιον, τὰ περὶ τὴν κύστιν πονέει.

πα΄. Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ [a] βαρείη ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

πβ'. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα [a] φύεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

πγ'. Οὔρησις νύκτωρ πολλὴ γιγνομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.



82. Quibus in urinariâ fistulâ tuberculum [a] nascitur, his, suppurato *eo* et perrupto, solutio *fit*.

83. Mictio noctu multa contingens, parvam *alvi* dejectionem significat.



NOTÆ

IN

SECTIONEM QUARTAM.

APHOR. I. Aph. v, 29. = [1] I, 22. = [2] I. Morb. Mul. xlij, 8. = [a] Cels. ij, 10, p. 78, l. 5. — *Vide* van-Swieten, t. iv, p. 411.

Intelligenda est Hippocratis sententia de validioribus purgantibus, quæ sola ab antiquioribus in usum vocabantur. Manna, Cassiam, Tamarindos, Sennam, quocumque graviditatis tempore, cum fructu recentiores exhibent, servatâ tamen artis methodo.

APHOR. II. [1] Aph. j, 2. — *Vide* van-Swieten, t. ij, p. 495, t. iij, p. 486.

APHOR. III. Aph. j, 25.

APHOR. IV. [1] V. Epid. xxv, 16, 17. = [2] Salub. Diæt. v, 10. = [a] Cels. j, 3, p. 29, l. 21,

Notum est minus humoris utilis per vomitum excludi, quàm per catharsim. Porrò æstate deest humor, hyeme redundat. Hinc intelligitur cur sub cane aridis solidis, exustis humoribus, difficilior catharsis, cur et gracilibus minùs felix.

APHOR. V. Aër. Aq. Loc. xxx, 2, 5, 8. — Purgant. 5, 8. = [1] Aph. ij, 37.

APHOR. VI. II. Morb. xiij, 9. = [1] Cels. j, 3, p. 29, l. 23.

Cur cavendus hyems? Quia vasa magis compacta magis resistunt; frigus enim quodam erethismo agit.

APHOR. VII. II. Morb. xij, 35.

Cur cavenda æstas, in mediocriter carnosis? Quòd catharsis exolvat corpo.

ra, quæ jam enervat tempestatis ariditas.

APHOR. VIII. Loc. in Hom, xxxv, 4. — Int. Affect. iv, 26, xiij, 36.

APHOR. IX. Aër. Aq. Loc. xj, 2. — *Vide* van-Swieten, t. iij, p. 486.

Consilium de Melancholicis intelligendum, qui turgente atrâ bile infestantur; non de iis quibus fibra sensilior sine ullâ fere materiâ laborat. Unde maximâ in hoc applicando Aphorismo utendum est prudentiâ.

APHOR. X. [1] Aph, j, 22, 24. = [2] V. Epid. xxv, 16, 17.

APHOR. XI. Coac. ij, 279. = [1] Coac. iij, 286. = [2] Cels. ij, 7, p. 59, l. 13: — *Vide* van-Swieten, t. iv, p. 153.

Debilitatâ coctione, aër ex alimentis erumpit, et circùm claustra intestinorum fremit: quæ si prædebilitata minùs resistant, dilatantur aëre agglomerato

in tympanitidem. *Vide* Pneumato-Pathologiam, Part. II.

Aphor. XII. In Lienteriâ, ait Galenus, ventriculi partes passæ sunt; ſcatet aphtosis ulceribus tractus intestinalis, quæ à vomitu levamen nullum, sed malam irritationem sibi comparare possunt. Fiunt autem præcipuè hyeme à repercussæ perspirationis impetu talia ulcuscula.

Aphor. XIII. Aph. j, 22; ij, 9; vij, 70. — II. Diæt. xxxvj, 18 ad xxxvij. — Loc. in Hom. xl, 3. — Verat. Us. j, 1. — II. Morb. xiij, 10, ad 13. — Int. Affect. xxiij, 31; xxix, 41; xlvij, 34. — I. Morb. Mul. xxv, 13, 14; xxxj, 9. — Superfæt. xx, 1. = [a] Cels. ij, 12, p. 86, l. 6; ij, 13. pag. 87, l. 23. — *Vide* van-Swieten, t. iij, p. 486.

Aphor. XIV. Verat. Us. j, 2, 3. — VI. Epid. v, 45. = [1] Aph. ij, 51. = *Vide* van-Swieten, t. iij, p. 486.

Aphor. XV. Verat. Us. j, 4. —

Superfæt. xx, 1. — VI. Epid. v, 45. = [1] Aph. v, 27. — *Vide* van-Swieten, t. iij, p. 486.

Hinc antiquum est illud Sydenhami præceptum, quo, purgatione peractâ, narcoticum ad somnos excitandos adhibet. Cæterum vide in utrumque hunc Aphorismum notas doctissimi de Villebrune.

Aphor. XVI. Aph. ij, 36, 37. — Verat. Us. j, 5. = [1] Aph. v, 1. = [a] Cels. ij, 13, pag. 87, l. 24. — *Vide* van-Swieten, t, ij, p. 237; t. iij, p. 486.

Aphor. XVII. Verat. Us. j, 10. — Affection. xiv, 12. = [1] II. Morb. Mul. xxiv, 2, 3. = [a] Cels. j, 3, pag. 29, l. 31. — *Vide* van-Swieten, t. ij, p. 202.

Aphor. XVIII. Verat. Us. j, 10, 11.

Aphor. XIX. Verat. Us. j, 6.

Hæc propositio ad validiora tantùm

catharseos instrumenta pertinet quibus olim utebantur antiquiores, non ad nostram alvi subductionem molliorem et facilè mitigandam solorum diluentium usu.

APHOR. XX. Verat. Us. j, 11.

Hæc signa illicò purgandum non significant, sed non aliter morbum finiri posse indicant.

APHOR. XXI. [1] Prænot. x, 6. — Coac. iij, 36; vj, 22, ad 26, 42. = [2] Aph. iv, 23. — Coac. iij, 1. = [3] Aph. j, 2. = [4] Coac. vj, 24. = [5] Aph. j, 2; ij, 14. = [a] Cels. ij, 8, p. 76, l. 19.

Melancholicum vocabant Veteres, degenerem, quem ex obstructis intrà intestinalem tractum vasis videbant, vel per os, vel per anum effundi sanguinem, pessimo omine. Minus tamen mali ostenditur, si vis medicamenti, non verò fatiscens natura id effecerit. Vigere adhuc diversorum humorum intra intes-

tina secretionem, plurium humorum testatur excretio, de quâ pluries cum laude locutus est Hippocrates locis citatis.

APHOR. XXII. Coac. j, 100. = [a] Cels. ij, 6, p. 55, l. 33. — *Vide* van-Swieten, t. ij, p. 346; t. iij, p. 496.

Præclusum omninò sanguini venoso aditum per obstructos venæ portarum fines, hinc exundare sanguinem atrum in intestina repulsum, symptoma illud vulgò indicat; vel venenum intùs enatum, à degeneri simul bile atque tabefactis cæteris humoribus pendens, acre, erodens, acidumque, instar aquæ stygiæ; undè utroque in casu metuenda prognosis quæ in Aphorismo sequenti continetur; minùs tamen in priori casu.

APHOR. XXIII. [1] Aph. iv, 21. = [a] Cels. ij, 6, p. 55, l. 34. — *Vide* van-Swieten, t. iij, p. 496.

APHOR. XXIV. Coac. j, 100; iij, 292. — V. Epid. x, 2. = [a] Cel. ij, 8,

p. 74, l. 1. —*Vide* van-Swieten, t. iij, pag. 499.

APHOR. XXV. Aph. vij, 37. — Coac. ij, 254; vj, 14.

Scilicet summè distinguendus est sanguis niger ab atrâ bile, secundum Hippocratem et Galenum. Hæc enim à pristinâ qualitate degener veneni qualitatem adepta est. Lege hîc observationes Cl. de Villebrune.

APHOR. XXVI. [1] Aph. iv. 76.

APHOR. XXVII. Coac. j, 227, iij, 53.

Quamlibet magnam sanguinis profusionem sequitur relaxatio ingens; hinc viscerum concoctioni servientium debilitas summa quæ, vel diarrhœâ, vel hydrope excipiatur. Huc refer Sanctorii Aphoris. xiv, Sect. iij.

APHOR. XXVIII. Aph. iv, 60. — Coac. ij, 66, 103; vj, 77. = [a] Cels.

ij, 8, p. 70, l. 20. — *Vide* Epidemicas Hippocratis historias. *Vide* van-Swieten, t. ij, p. 358, 554.

Aphor. XXIX. Coac. j, 23. — VII. Epid. xl, 20. = [a] Cel. ij, 4, p. 51, l. 11. — *Vide* van-Swieten, t. ij, p. 443.

Aphor. XXX. Humor. iij, 91. — *Vide* van-Swieten, t. ij, p. 522.

Aphor. XXXI. [1] Humor. iij, 98. — IV. Epid. xviij, 16, 17. — Aph. ij, 5; iv, 74. = [a] Cels. ij, 7, pag. 65, l. 8. — *Vide* van Swieten, t. ij, pag. 409.

Aphor. XXXII. Humor. iij, 100. — *Vide* van-Swieten, t. ij, p. 53, 690, 723.

Aphor. XXXIII. Loc. in Hom. xxxvj, 6. — Humor. iij, 101. — IV. Epid. xxviij, 1, 2, 3. — VI. Epid. vij, 15 ad 19. — Vict. Acut. xliv, 2, 3 — *Vide* van-Swieten, t. ij, p. 723.

APHOR. XXXIV. Aph. iv, 35. — Prænot. xxiij, 3, 4. — Coac. j, 90; ij, iij, 201, 202, 221; 96. — *Vide* van-Swieten, t. ij, p. 646.

APHOR. XXV. Aph. iv, 34; vij, 58. — Coac. ij, 221 ad 223. = [a] Cels. j, 6, p. 55, l. 17. — *Vide* van-Swieten, t. ij, p. 646.

APHOR. XXXVI. Aph. ij, 24. — Judicat. j, 2; iv, 13. — Prænot. v, 1, 2, 3. — Coac. iv, 36. — I. Epid. iij, 38. — Ægin. xiv, 7. = [1] Prænot. xxiv, 8. — Coac. j, 115. = [2] Aph. ij, 12; iv, 61, — *Vide* van-Swieten, t. ij, p. 80, 330, 426.

APHOR. XXXVII. Judicat. vj, 9, 10, viij, 12, 8. — Prænot. v, 4, 5. — Coac. iv, 40. = [a] Cels. ij, 4, p. 51, l. 30; 5, pag. 53, l. 17; 6, pag. 56, l. 11. — *Vide* van-Swieten, t. ij, pag. 80.

APHOR. XXXVIII. Aph. ij, 5. = [a] Cels. ij, 2, p. 48, l. 19.

APHOR. XXXIX. Judicat. viij. 3. = Cels. ij, p. 48, l. 15. — *Vide* van-Swieten, t. ij, p. 288.

APHOR. XL. Aph. vij, 60. — Humor. iij, 22, 53. — Judication. viij, 4. — I. Prædic. vj, 4. — Coac. j, 77, 177. = [a] Cels. ij, 5, p. 53, l. 20.

Inconstantia symptomatum naturæ deesse firmum robur, quo ad legitimam coctionem crisimque tendat, signum est. *Vide* Sanctorium, Sect. j, Aph. 121.

APHOR. XLI. Aph. vij, 61. — [1] Coac. iv, 36. = [2] Aph. ij, 8. — *Vide* Sanctorium, Sect. iv, Aph. 3.

APHOR. XLII. Aph. vij, 61. — Judicat. viij, 9. — Coac. j, 21. — I. Morb. xxij, 26, ad xxiij. — *Vide* Sanctorium, Sect iv, Aph. 59.

APHOR. XLIII. Aph. vij, 62. — Coac. j, 166. — I. Epid. iij, 16. — VII. Epid. xl, 19. — Vict. Acut. iij,

3. = [a] Cels. ij, 4, pag. 51, l. 33. = [b] Cels. ij, 3, pag. 49, l. 34; iij, 12, p. 141, l. 6. — *Vide* van-Swieten, t. ij, p. 402.

Contraria de febribus intermittentibus docent Forestus, Morton, Torti.

APHOR. XLIV. Aph. vij, 63. — Humor. iij, 98. — Prænot. xxiv, 9, 10, 11. — II. Prædict. 10, 7. — Coac. j, 168, 169. = [a] Cels. ij, 7, pag. 64, l. 2. — *Vide* van-Swieten, t. j, p. 671; t. ij, p. 67.

Febres ideò longæ sunt, quòd victrix natura uno ictu hostilem materiam proterere non possit. Hinc abscessus frequentiùs apud veteres emicabant, quòd mitiorum alvi laxantium usum nescirent.

APHOR. XLV. Aph. vij, 64. — *Vide* van-Swieten, j, p. 671.

APHOR. XLVI. Coac. j, 15. = [1] Cels. ij, 6, p. 55, l. 21. — *Vide* Sanctorium, Sect. j, Aph. 121.

APHOR. XLVII. Aph. vij, 69. — Coac. ij, 161. = [1] Coac. iij, 148. = [2] Prænot. xv, 10. = [3] Aph. j, 25. — *Vide* van-Swieten, t. j, p. 703; t. ij, p. 725.

APHOR. XLVIII. Aph. vij, 72. — Prænot. viij, 11; xiv, 12, 13; xv, 6, ad 10. — Coac. j, 165; iij, 345. — I. Morb. xxvij, 15. — Affection. xj, 5. = [1] Aph. vij, 1, 26. — II. Morb. xvj. 2; xxxvij, 1, ad 5. = [a] Cels. ij, 4, p. 51, l. 25. ij, 6, p. 55, l. 21; 14, p. 90, l. 22.

APHOR. XLIX. Aph. vij, 73. — Prænot. iij, 3. — Coac. j, 104. = [a] Cels. ij, 6, p. 54, l. 24. — *Vide* van-Swieten, t. ij, p. 396.

APHOR. L. Judication. viij, 17. — Prænot. iv, 20; xiv, 9; xv, 3. — *Vide* van-Swieten, tom. ij, pag. 69, 390, 442.

APHOR. LI. [a] Cels. ij, 5, pag. 53 l. 22. — *Vide* hîc notas Cl. de Villebrune huic intelligendæ propositioni ne-

cessarias ; ubi μωλυόμενα *recedentia*, sufficitur in locum μὴ λυόμενα, *qui non solvuntur*.

APHOR. LII. Aph. viij, 2. — Prænot. ij, 18, ad 21. — IV. Epid. xxvij, 12. — VI. Epid. j, 42. = [1] I. Epid. ij, 176. — VI. Epid. viij, 34. = [a] Cels. ij, 4, p. 51, l. 15. — *Vide* van-Swieten, t. ij, p. 397.

APHOR. LIII. Coac. ij, 153. — IV. Epid. xxvij, 13. = [a] Cels. ij, 4. p. 51, l. 15. — *Vide* van-Swieten, tom ij, p. 140.

APHOR. LIV. VI. Epid. ij, 43. = [a] Cels. iij, 7, p. 135, l. 31. — *Vide* van-Swieten, t. ij, p. 407.

APHOR. LV. II. Epid. iij, 60. = [a] Cels. ij, 3, pag. 49, l. 34. — *Vide* van-Swieten, t. j, pag. 669.

Lege hîc observationes D. de Villebrune, et Riegerum in hunc Aphorismum.

APHOR. LVI. Judication. viij, 6. — Coac. iv, 36. — II. Morb. xxxvj,

12. = [1] I. Prædict. vij, 8. = [2] Aph. vij, 61. = [a] Cels. ij, 5, p. 53, l. 19.

APHOR. LVII Aph. ij, 26; v, 70. — Loc. in Hom. xlviij, 6. — Judication. xij, 10. — Coac. j, 231; iij, 80, ad 84. — San. Tuend. ad Dem. 10. — I. Morb. vj, 13, 14. = [a] Cels. ij, 1, pag 45, l. 1, 2, 3; ij, 8, p. 70, l. 6. — *Vide* van-Swieten, t. ij, p. 328.

APHOR. LVIII. Judication. xj, 9, 16. — Coac. j, 188. = [a] Cels. ij, 8, pag. 70, l. 16. — *Vide* van-Swieten, t. ij, p. 442.

APHOR. LIX. Judication. iv, 10. — Coac. j, 212. — I. Epid. iij, 26. — I. Epid. iij, 82. = [1] Prænot. xxv, 11.

Propositio de vernalibus solis intelligenda, non de iis quæ autumno erumpunt et rarò admodùm simplices sunt.

APHOR. LX. Aph. iv, 28. — Judicat. xj, 11, 12, 13 — Coac. ij, 66, 99, 100, 103; vj, 77, 78. = [1] Coac.

ij, 72. — [a] Cels. ij, 8, pag. 70, l. 18.

APHOR. LXI. Humor. iij, 91. — Judicat. ix, 11. — Prænot. xxiv, 8. — Coac. j, 115, 210. — I. Epid. iij, 40. II. Epid. v, 30; vj, 18. — IV. Morb. xix, 10, 11; xx, 8, 12, 15. = [a] Cels. iij, 4, pag. 121, l. 13. — *Vide* van-Swieten, t. ij, p. 427.

Doctè herclè et criticè de hoc Aphorismo Cl. de Villebrune, qui hîc exscribendus foret.

APHOR. LXII. Judicat. iij, 5, 18, 20. — Coac. j, 172. — III. Epid. j, Ægrot. ij, 13, 16. I. Morb. vj, 2. — Vict. Acut. liv, 3, 4. = [a] Cels. ij, 4, pag. 52, l. 7; iij, 24, pag. 175, l. 9. — *Vide* van-Swieten, tom. iij, pag. 138.

APHOR. LXIII. Judicat. xj, 16.

Paroxysmi solvuntur in febre, etiam non intermittente. Nam rigor jam retusam priùs supponit febris violentam vim.

APHOR. LXIV. Judicat. iij, 5, 18, 20; iv, 11. — Coac. j, 173. — I. Epid. ij, 120. — I. Morb. vj, 2. = [1] Aph. vj, 42. = [a] Cels. iij, 42, pag. 175, l. 7. — *Vide* van-Swieten, t. iij, pag. 139.

APHOR. LXV. *Vide* van-Swieten, tom. ij, pag. 289.

APHOR. LXVI. Coac. ij, 207. = [1] Vid. Aph. ij, 26. = [a] Cels. ij, 4, p. 52, l. 11. *Vide* van-Swieten, t. ij, pag. 442.

APHOR. LXVII. Aph. ij, 1. = [a] Cels. ij, 4, pag. 52, l. 12. — *Vide* van-Swieten, t. ij, pag. 398.

APHOR. LXVIII. Vict. Acut. xxj, 21. — I. Morb. Mul. v, 7. = [a] Cels. ij, 7, p. 64, l. 4.

Offendens dicitur spiritus, in quo inspiratio quasi intercepta pluribus redintegratur vicibus. Res, vel à debilitate organorum per morbum acquisitâ, vel

à natis intra vasa pulmonalia repagulis, vel à nervorum convulsione pendet. *Vide* Galenum de differentiis respirationis, cap. VIII. Prosp. Alpinum, de præsagiendâ vitâ et morte, lib. IV,

APHOR. LXIX. Coac. v, 80, 81.

APHOR, LXX. Coac. v. 46. — VII. Epid. liv. 5, 6, 10, 11. — *Vide* van-Swieten, t. ij, p. 394.

APHOR. LXXI. Judicat. vj, 2; ix, 8. — Coac. j, 213; v, 5, 82. = [1] Aph. j, 12. — *Vide* Solano, Part. I, Sect. 2, cap. 3, Observ. 3. van-Swieten, t. ij, p. 431.

APHOR. LXXII. I. Prædic. xx, 5; j, 6. = [a] Cels. ij, 4, pag. 52, l. 25, — *Vide* van-Swieten, t. ij, p. 324.

APHOR. LXXIII. Coac. ij, 240, 241, 257. — Prænot. x, 14. = [1] Aphor. v, 64. — Sal. Diæt. v, 10. = [a] Cels. ij, 3, p. 50, l. 20. — *Vide* van-Swieten, t. ij, p. 495.

APHOR. LXXIV. Humor. xj, 13, ad 16. — Judicat. x, 4, ad 7. — VI. Epid. iv, 3, ad 6. = [1] Prænot. xj, 17. — II. Prædic. x, 7. = [a] Cels. ij, 7, p. 60, l. 21. — *Vide* van-Swieten, t. ij, pag. 53, 76, 83, 672.

APHOR. LXXV. Aph. iv, 78, 81. — Int. Affect. xvj, 4, 5. = [1] Nat. Human. xxvj, 4. — Prænot. xix, 11. = [a] Cels. ij, 7, pag. 60, l. 28. = [b] Genit. ij, 8. — *Vide* van-Swieten, t. ij, p. 238.

APHOR. LXXVI. Nat. Human. xxvj, 5. [1] = Aph. iv, 26. — Cap. Vuln. ij, 4, = [a] Cels. ij, p. 60, l. 30. — *Vide* van-Swieten, t. iij, p. 239.

APHOR. LXXVII. Nat. Human. xxvj, 6. — Prænot. xj, 8, 10.

Si suppurent renes, complicata per ureteres abripiuntur vascula; si vesica ulcere laboret, internæ membranæ folia dejiciuntur. *Vide* van-Swieten, t. iij, p. 239.

APHOR. LXXVIII. Aph. iv, 75. — Nat. Human. xxvj, 4. = [1] Int. Affec.

xvj, 4. = [a] Cels. ij, 7, p. 60, l. 27, 33; p. 61, l. 7.

APHOR LXXIX. IV. Morb. xxix, 13, ad xxx. — Int. Affect. xv, 10, 11. = [1] Nat. Human. xxvj, 1. = [a] Cels. ij, 7, p. 61, l. 16.

Id est calculus iis metuendus est; nam sæpè et arenæ sine calculo in vesicâ minguntur, et calculus in vesicâ perstat, sine ullâ arenarum emissione.

APHOR. LXXX. Aph. vij, 39. — [a] Cels. ij, 7, p. 61, l. 15, et seq.

APHOR. LXXXI. Aph. iv, 75. = [a] Cels. ij, 7, p. 60, l. 31.

APHOR. LXXXII. Aph. vij, 57. — Coac. iij, 311, 312. = [a] Cel. ij, 8, p. 70, l. 22. — *Vide* van-Swieten, t. j, p. 771; t. v, p. 428.

APHOR. LXXXIII. II. Diæt. xl, 10, ad 17. — IV. Morb. vij, 4, &c. — *Vide* van-Swieten, t. ij, p. 33. — Vide et Sanctorium, Sect. I. de Ponderatione, Aph. 89, 94, &c. V. Gorterum, de perspiratione, talia phænomena passim explanantem.

ΤΜΗΜΑ ΠΈΜΠΤΟΝ.

α΄. ΣΠΑΣΜΟ`Σ ἐξ [a] ἐλλεβόρου, θανάσιμον.

β΄. Ἐπι τρώματι [a] σπασμὸς ἐπιγινόμενος, θανάσιμον.

γ΄. Αἵματος πολλοῦ ῥυέντος, [a] σπασμὸς, ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

δ΄. Ἐπὶ ὑπερκαθάρσει [a] σπασμὸς, ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

ε΄. [1] Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, [a] σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ᾽ ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

ϛ΄. Ὁκόσοι ὑπὸ [a] τετάνου ἁλι-

SECTIO QUINTA.

1. CONVULSIO ab [a] elleboro, lethale.

2. Vulneri convulsio [a] superveniens, lethale.

3. Sanguine multo effuso, [a] convulsio, aut singultus superveniens, malum.

4. Purgationi immodicæ [a] convulsio, aut singultus superveniens, malum.

5. [1] Si quis ebrius ex improviso mutus fiat, [a] convulsus moritur, nisi febris corripuerit, aut ubi ad horam, quâ crapulæ solvuntur, pervenit, locutus fuerit.

6. Qui à tetano [a] corripiuntur, in

quatuor diebus pereunt. Si verò hos effugerint, sani fiunt.

7. [1] Quibus epilepsiæ [a] ante pubertatem contingunt, mutationem habent. [2] Quibus verò accidunt viginti quinque annos *natis*, his plerumque commoriuntur.

8. Qui pleuritici facti, non repurgantur supernè in quatuordecim diebus, his in suppurationem convertitur.

9. Tabes maximè fit ætatibus ab anno octavo decimo [a] usque ad quintum trigesimum.

10. Quibus anginam effugientibus [a] ad pulmonem vertitur, in septem diebus moriuntur. Si verò hos effugerint, suppurati fiunt.

σκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

ζ΄. [1] Τὰ ἐπιληπτικὰ [a] ὁκόσοισι πρὸ τῆς ἥβης γίγνεται, μετάστασιν ἴσχει. [2] ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίγνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

η΄. Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

θ΄. Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα [a] ἐτέων μέχρι πέντε καὶ τριήκοντα.

ι΄. Ὁκόσοισι κυνάγχην διαφεύγουσιν [a] ἐς τὸν πλεύμονα τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίγνονται.

ια΄. Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα, ὅπερ ἂν ἀποβήξωσι, βαρὺ [a] ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες.

ιβ΄. Ὁκόσοισιν ἂν φθισιῶσιν αἱ τρίχες [a] ἀπὸ τῆς κεφαλῆς ῥέωσιν, οὗτοι, διαῤῥοίης [b] ἐπιγινομένης, ἀποθνήσκουσιν.

ιγ΄. Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ τοῦ πλεύμονος [a] ἡ τοιαύτη ἀναγωγὴ γίγνεται.

ιδ΄. Ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια [a] ἐπιγινομένη, θανατῶδες.

ιε΄. Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίγνονται, ἢν ἀνακαθαρθῶσιν ἐν [a] τεσσαράκοντα ἡμέρῃσιν, ἀφ᾽ ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται· ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται.

ιϛ΄. Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι

11. A tabe vexatis, si sputum quod extussiunt, prunis superfusum, graviter oleat, [a] et capilli de capite defluant, lethale.

12. Quibus tabe laborantibus capilli [a] de capite defluunt, hi, alvi fluxu [b] superveniente, moriuntur.

13. Qui sanguinem spumosum exspuunt, [a] his ex pulmone talis rejectio fit.

14. A tabe detento alvi profluvium [a] superveniens, lethale.

15. Qui ex pleuritide suppurati fiunt, si intra quadraginta dies, [a] ex quo ruptio fuerit facta, repurgentur supernè, liberantur: si verò minus, ad tabem transeunt.

16. Calidum eo frequenter uten-

tibus has affert noxas : [1] [a] carnis effœminationem, nervorum impotentiam, mentis torporem, [b] sanguinis eruptiones, [2] animi deliquia : hæc quibus mors.

17. Frigidum [a] autem, convulsiones, tetanos, nigrores, et rigores febriles.

18. Frigidum [a] inimicum ossibus, dentibus, nervis, cerebro, spinali medullæ : calidum verò utile.

19. Quæ perfrigerata sunt, excalefacere oportet, [1] præterquàm quæ sanguinem profundunt, aut sunt profusura.

20. Ulceribus frigidum quidem mordax, [a] cutem obdurat, dolorem non suppurantem facit, nigrores, rigores febriles, convulsiones, et tetanos.

πλεονάκις χρεομένοισι· [1] [a] σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, [b] αἱμοῤῥαγίας, [2] λειποθυμίας. ταῦτα οἷσι θάνατος.

ιζ΄. Τὸ δὲ [a] ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα.

ιη΄. Τὸ ψυχρὸν [a] πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ· τὸ δὲ θερμὸν ὠφέλιμον.

ιθ΄. Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν δεῖ, [1] πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει.

κ΄. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, [a] δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελασμοὺς, ῥίγεα πυρετώδεα, σπασμοὺς, καὶ τετάνους.

κά. Ἔστι δὲ, ὅκου ἐπὶ τετάνου [1] ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, [2] ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται· θέρμη δὲ ταῦτα ῥύεται.

κβ΄. [1] Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην· [2] δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, [3] σπασμῶν, τετάνων παρηγορικόν· τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει· πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι· [4] μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι· τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισιν ἕδρῃ, [5] αἰδοίῳ, ὑστέρῃ, κύστει. τουτέοισι τὸ μὲν θερμὸν φίλον καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

21. Est verò, ubi in tetano [1] sine ulcere, juveni benè carnoso, æstate mediâ, [2] frigidæ multæ affusio caloris revocationem facit; calor autem hæc solvit.

22. [1] Calidum suppuratorium, non in omni ulcere, maximum signum ad securitatem: [2] cutem emollit, attenuat, dolores sedat, rigores, [3] convulsiones, tetanos mitigat: capitis verò gravitatem solvit: plurimùm autem confert ossium fracturis: [4] maximè verò denudatis: ex his quidem maximè, qui in capite ulcera habent: et quæ à frigore moriuntur, aut ulcerantur: et herpetibus exedentibus sedi, [5] pudendo, utero, vesicæ. His calidum quidem amicum et decretorium, frigidum verò inimicum et occidens.

23. [1] In his autem frigido uti oportet unde sanguis erumpit, aut erupturus est : non super ipsa, sed circa hæc, unde influit. Et quæcumque inflammationes, [a] aut flammei ardores ad rubrum et sanguineum colorem vergentes novo sanguine, super ipsos: nam inveteratos nigrefacit : erysipelas etiam non exulceratum (juvat): quoniam exulceratum lædit.

24. Frigida, velut nix, glacies, [1] pectori [a] inimica, [2] tusses movent, sanguinis eruptiones *ac* catarrhos inducunt.

25. Tumores autem in [a] articulis et dolores absque ulcere, et podagricos, [1] et convulsiones; horum plurima frigida multa affusa, et levat, et attenuat, et dolorem solvit. Torpor

κγ΄. [1] Ἐν τουτέοισι δὲ δεῖ τοῦ ψυχροῦ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέει, ἢ μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ, ὁκόθεν ἐπιῤῥεῖ. καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν [a] καὶ ὕφαιμον ῥέποντα νεαροῦ αἵματι, ἐπὶ ταῦτα· ἐπεὶ τάγε παλαιὰ μελαίνει· καὶ ἐρυσίπελας, τὸ μὴ ἑλκούμενον (ὠφελεῖ·) ἐπεὶ τόγε ἑλκούμενον βλάπτει.

κδ΄. Τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, [1] τοῦ στήθει [a] πολέμια, [2] βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοικά.

κε΄. Τὰ δὲ ἐν [a] ἄρθροισιν οἰδήματα καὶ αλγήματα ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, [1] καὶ σπάσματα, τουτέων τὰ πλεῖστα τὸ ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε, καὶ ἰσχναίνει, καὶ ὀδύ-

νην λύει. νάρκη γὰρ μετρίη ὀδύνης λυτική.

κϛ'. Ὕδωρ τὸ ταχέως θερμαινόμενον, [a] καὶ ταχέως ψυχόμενον, κουφότατον.

κζ'. Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες [a] νύκτωρ, τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

κή. Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη. πολλαχοῦ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει.

κθ'. Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια, καὶ πρεσβύτερα, [a] εὐλαβέεσθαι χρή.

λ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ὑπό τινος τῶν ὀξέων [a] νουσημάτων ληφθῆναι, θανάσιμον.

enim modicus doloris solvendi vim habet.

26. Aqua, quæ citò calefiat, [a] et citò refrigeretur, levissima.

27. Quibus autem bibendi appetentiæ noctu, iis valdè sitientibus, si obdormierint, bonum.

28. Suffitus aromatum muliebria ducit: sæpius autem et ad alia utilis esset, nisi capitis gravitates induceret.

29. Prægnantes purgandæ, si turgeat *materia*, quadrimestres, et usque ad septimum mensem: hæ verò minùs. Juniores autem, et seniores *fœtus*, [a] cautè vitare oportet.

30. Mulierem in utero gerentem ab acuto [a] aliquo morbo corripi, lethale.

31. Mulier in utero gerens sectâ venâ [a] abortit : et magis, si major fuerit fœtus.

32. Mulieri sanguinem [a] evomenti, menstruis erumpentibus, solutio fit.

33. Mulieri, menstruis deficientibus, è [a] naribus sanguinem fluere, bonum.

34. Mulieri in utero gerenti, si alvus [a] multùm fluxerit, periculum ne abortiat.

35. Mulieri ab uterinâ *passione* vexatæ, aut difficulter parienti, [a] sternutatio superveniens, bonum.

36. Mulieri menses decolores, neque secundum eadem (*tempus et modum*) semper prodeuntes, purgatione opus esse significant.

37. Mulieri in utero gerenti si

λά. Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα [a] ἐκτιτρώσκει· καὶ μᾶλλον, εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

λβ'. Γυναικὶ αἷμα [a] ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις γίνεται.

λγ'. Γυναικὶ, τῶν καταμηνίων ἐκλειπόντων, αἷμα [a] ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

λδ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη [a] πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

λέ. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ, πταρμὸς [a] ἐπιγινόμενος, ἀγαθόν.

λϛ. Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσεως δεῖσθαι σημαίνει.

λζ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν

οἱ μαζοὶ [a] ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

λη΄. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μαζὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει· καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

λθ΄. Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα, γάλα [a] ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

μ΄. Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα [a] συστρέφεται, μανίην σημαίνει.

μα΄. Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, (ἀδείπνῳ ἐούσῃ) μελίκρατον διδόναι πιεῖν. κἢν μὲν στρόφον ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μὴ, οὐ κύει.

mammæ [a] ex improviso graciles fiant, abortit.

38. Mulieri in utero gerenti, si altera mamma gracilis fiat, gemellos gestanti, alterutrum abortit; et, si quidem dextra gracilis fiat, marem: si verò sinistra, fœminam.

39. Si mulier quæ nec prægnans est, nec peperit, [a] lac habeat, ei menstrua defecerunt.

40. Mulieribus quibus in mammas sanguis [a] convertitur, insaniam significat.

41. Mulierem si velis cognoscere, an prægnans sit, ubi dormitura est, (incœnatæ) aquam mulsam bibendam dato. Et si quidem tormen habeat circa ventrem, prægnans est: si verò minùs, prægnans non est.

42. Mulier prægnans, si quidem marem gestat, benè colorata est: si verò fœminam, malè colorata.

43. Si mulieri prægnanti erysipelas in utero fiat, lethale.

44. Quæ præter naturam tenues existentes in utero gerunt, abortiunt, priusquam crassescant.

45. [1] Quæ verò mediocriter corpus habentes abortiunt bimestres et trimestres, sine causâ manifestâ, his uteri acetabula muco plena sunt, et non possunt continere fœtum, præ gravitate, sed abrumpuntur.

46. [1] Quæ præter naturam crassæ existentes non concipiunt in utero, his omentum os uteri comprimit, et, priusquam attenuentur, prægnantes non fiunt.

μβ'. Γυνὴ ἔγκυος, εἰ μὲν ἄῤῥεν κύει, εὔχρους ἐστίν· ἢν δὲ θῆλυ, δύσχρους.

μγ'. Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

μδ'. Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι, πρὶν ἢ παχυνθῆναι.

με'. [1] Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα, ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρους τὸ ἔμβρυον, ἀλλ' ἀποῤῥήγνυνται.

μϛ'. [1] Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερῶν ἀποπιέζει, καὶ, πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσιν.

μζ'. [1] Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

μή. Ἔμβρυα, τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

μθ'. Εἰς ὑστέρων ἐκπτώσιας πταρμικὸν ἐπιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

ν'. Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς [a] τιτθοὺς πρόσβαλλε.

νά. Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τούτεων τὸ στόμα τῶν ὑστερῶν ξυμμέμυκεν.

νβ'. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα [a] πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

47. [1] Si uterus coxi incumbens suppuratus fuerit, necesse *est* medicamenta in linteo carpto applicari.

48. Fœtus, mares quidem in dextris, fœminæ verò in sinistris magis.

49. Ut secundæ excidant, sternutatorio indito, nares et os apprehendere *opportet*.

50. Mulieri menstrua si velis cohibere, cucurbitam quam maximam [a] ad mammas appone.

51. Quæ in utero gerunt, harum os uteri clausum est.

52. Mulieri in utero gerenti si multum lactis [a] ex mammis fluxerit, infirmum fœtum significat. Si verò solidæ fuerint mammæ, saniorem fœtum significat.

53. Quæ perdituræ sunt fœtus, his mammæ graciles fiunt. Si verò rursùs duræ fiant, dolor erit aut in mammis, aut in coxis, aut in oculis, aut in genibus, et non perdunt.

54. [1] Quibus os uteri durum est, his necesse est os uteri [2] clausum esse.

55. [1] Quæcumque in utero gerentes à febribus corripiuntur, et vehementer attenuantur, absque manifestâ occasione, difficulter et periculosè pariunt, aut abortientes periclitantur.

56. Si fluxui muliebri convulsio et animi deliquium superveniat, malum.

